θεὶς ἐπὶ πυρκαϊὴν Τύννιχος εἶπε τάδε·
'Δειλοὶ κλαιέσθωσαν· ἐγὼ δέ σε τέκνον ἄδακρυς
θάψω, τὸν καὶ ἐμὸν καὶ Λακεδαιμόνιον.'

52. Ἀλκιβιάδῃ τῷ Ἀθηναίῳ βαλανέως ἐπὶ πλεῖστον παραχέοντος ὕδωρ, Λάκων εἶπε 'τί τοῦτο ὡς οὐ καθαρῷ, σφόδρα δὲ ῥυπαρῷ; πλεῖον παράχει.'

53. Φιλίππου τοῦ Μακεδόνος προστάσσοντός τινα δι' ἐπιστολῆς, ἀντέγραψαν οἱ Λακεδαιμόνιοι 'Φιλίππῳ· περὶ ὧν ἄμμιν ἔγραψας, οὔ'. 53a. ὅτε δ' ἐνέβαλεν εἰς τὴν Λακωνικὴν ὁ Φίλιππος καὶ ἐδόκουν ἅπαντες ἀπολεῖσθαι,
B εἶπε πρός τινα τῶν Σπαρτιατῶν 'τι νῦν ποιήσετε, ὦ Λάκωνες;' 'τί γάρ' ἔφη 'ἄλλο ἢ ἀνδρείως ἀποθανούμεθα; μόνοι γὰρ ἡμεῖς Ἑλλήνων ἐλεύθεροι εἶναι καὶ μὴ ὑπακούειν ἄλλοις ἐμάθομεν.'

54. Μετὰ δὲ τὴν Ἄγιδος ἧτταν, ὁμήρους αἰτοῦντος Ἀντιπάτρου πεντήκοντα παῖδας, Ἐτεοκλῆς ἐφορεύων εἶπε παῖδας μὲν οὐ δώσειν, ἵνα μὴ ἀπαίδευτοι γένωνται, τῆς